ὑπὸ τοῦ προστάτου καθ' ἕνα χρῆσθαι ὀλίγον τι τῷ συμπαγεῖ δίσκῳ τῷ τῆς Καλιφορνικῆς Ἀκαδημείᾱς, ἐν ᾧ ἔνεστι πάντα τὰ γεγραμμένα τά τε τοῖς πάλαι Ἕλλησι καὶ τοῖς Βυζαντίοις,

Ἔτι δὲ καὶ οἱ μὲν μουσῐκοὶ πάλιν τῑμήσουσιν ὀψὲ τῆς ἑσπέρᾱς τοὺς ξένους ᾄδοντες καὶ μουσίζοντες καὶ λῡρίζοντες ποιήματα τῶν μελοποιῶν, οἱ δέ γε παρόντες ξένοι αὐτοὶ φιλοσοφοῦντες ἐν τῷ Ἐπικουρείῳ κήπῳ τά τ' ἠθικὰ καὶ τὴν κοσμολογίᾱν χρώμενοι, ὅπως ἂν βούλωνται, τῇ τε τῶν νῦν Ἑλλήνων φωνῇ καὶ τῇ τῶν πάλαι καὶ τῇ τῶν Γερμᾱ́νων ἢ ἄλλῃ τινί, ᾗ ἐπίστανται ἰέναι. Ὡς δ' αὔτως συνεσόμεθα προσφιλῶς ἀλλήλοις ὄντες ὥσπερ πέρυσιν καὶ διατρῑ́βοντες ἐν τῷ καπηλείῳ καὶ περὶ τῶν ἄλλων ἀττικιστὶ διαλεξόμεθα καὶ δὴ καὶ περὶ τῶν τοῦ δείπνου.

Τίσι δ' αὖ συμβουλεύω τοῖς ἑλληνίζουσιν εἰς λόγους ἐλθεῖν; Ῥᾷστά γέ τοι καὶ ἀνυσιμώτατα παραγένοιντο ἂν οἱ ἤδη ἔχοντες ἁμῶς γέ πως ἐπιστήμην τῆς Ἑλληνικῆς φωνῆς, ὅτι καὶ ῥᾴδιοι κατὰ σύνταξιν λόγοι περιέχουσι δυσκαταμαθήτους μορφᾱ̀ς τῆς τε συζυγίᾱς καὶ τῆς τῶν ὀνομάτων κλίσεως. Τοῖς μέντοι καρτεροῦσιν ἐν τοῖς ἐπιτηδεύμασιν καὶ φοιτῶσιν, ὡς ἔπος εἰπεῖν, εἰς τὸ διδασκαλεῖον οὐκ ἀργὸς ἔσται αὕτη ἡ διατρῐβή, ἀλλ' ἀθροισθέντων τῶν καλῶν κἀγαθῶν ἐγγενήσεται τοῖς μὲν διενεγκοῦσι τὴν φύσιν ἐπιδείκνυσθαι τὰς αὑτῶν δυνάμεις, τοῖς δὲ περὶ τὰ στοιχεῖα τῆς τέχνης σπουδάζουσι κοινοῦσθαι τοῖς τὴν Ἀττικὴν τὴν παλαιὰν φωνὴν ἤδη διαμεμελετηκόσιν. Καίτοι γ' ὅστις ἄπειρος ἔτι ὢν τῶν Ἑλληνικῶν διαλόγων σπουδάζειν ἐθέλει περὶ τὰ στοιχεῖα τὰ τῆς Ἑλληνικῆς φωνῆς, οὗτος μετεχέτω τῆς στοιχειώσεως, ἣν παρέξει γυνή τις Ἑλληνὶς διδάσκαλος οὖσα τῆς τῶν πάλαι φωνῆς. Κἀγὼ τοῦτο πέπεισμαι, ὅπως ἅπαντες οἱ παραγεγενημένοι καὶ τῆτες παρέσονται ἅτε τῆς τῶν διαλόγων μεγαλοπρεπείᾱς θελγούσης τὸ νόημα αὐτῶν.

Καὶ γὰρ ἐπεὶ Πλάτων ὁ φιλόσοφος ἀξιοῖ τὸν τεχνικὸν ἢ δεῖξαι, ὅτι παρὰ διδασκάλου σπουδαίου μεμάθηκεν, ἢ ἐπιδεῖξαι ἔργον τι τῆς ἑαυτοῦ τέχνης ὁμολογούμενον ὑπὸ τῶν ἐπαϊόντων, ὅτι εὖ ἔχει, τοῦτο μὲν δηλῶ, ὅτι οἱ ἐν τῇ Γερμᾱνίᾳ ἀττικίζοντες ταύτην τὴν τέχνην ἔμαθον παρά τε Γοργομενίδου τοῦ ἐν Μυρτιλλοῦντι σοφιστοῦ τοῦ τῶν Ἑλληνικῶν γραμμάτων καὶ παρὰ Διδερίκου Καπήλου, ὃς διδάσκαλός ἐστι τοῖν ἀρχαίαιν φωναῖν ἐν Ἀννοβέρᾳ τῆς κάτω Σαξονίᾱς καὶ προσείληφε τοῦ διδάκτωρος ἐπωνυμίᾱν· ἔτι δὲ πᾶσι τοῖς παροῦσι διαδοθήσονται συναγωγαὶ περιέχουσαι λέξεις χρησίμᾱς, αἷς χρώμενοι κάλλιον ἂν ἀττικίσωσι, καὶ ἀντίτυπον τοῦ βιβλίου τοῦ 'ἦ ἀττικίζεις' ἐπιγεγραμμένου.

Τούτων μὲν δὴ μέχρι τούτου· νῦν δὲ διηγήσομαι πρὸς ὑμᾶς, πῶς ἐκεῖσε πορεύσεσθε· τῶν μὲν οὖν ἀεροπλάνῳ ἀπαιρόντων ἐκ τῆς Γερμᾱνίᾱς ἢ ἄλλοθέν ποθεν εἰς τὴν Ἑλλάδα καὶ καταράντων Ἀθήναζε ἢ ἐπὶ τὸν ἐν Ἀράξῳ ἀερολῐμένα καὶ ἀποβάντων ἀπὸ τοῦ ἀεροπλάνου οἱ μὲν εἰσβάντες εἰς μετακομιστικὴν ἅμαξαν πορευέσθων εἰς τὰ Σελιανιτικά· οἱ δ' ἐλθόντες ἐπὶ τὸν κοιναυτοκῑνητικὸν σταθμὸν τὸν εἰς τὴν Πελοπόννησον καὶ εἰσβάντες εἴς τι τῶν καθ' ὥρᾱν κοιναυτοκῑνήτων ὀχείσθων εἰς τὸ Αἴγιον τὴν πόλιν· ὅθεν δὴ μισθωσάμενοι μετακομιστικὴν ἅμαξαν ὡσαύτως ἀπιόντων ἐπὶ τῶν Σελιανιτικῶν. Οἱ δὲ αὖ ἐκ τῆς Ἰταλίᾱς περαιώμενοι εἰς τὴν Ἑλλάδα καὶ κατακολπίσαντες εἰς τᾱ̀ς Πάτρᾱς τὸν προειρημένον τρόπον ἀφικέσθων παρὰ Ἀνδρέᾱν Σελιανιτικάδε. Ἀλλὰ μή γε κατοκνήσητε καὶ μακρᾱ̀ν ὁδὸν πορεύεσθαι πρὸς τοὺς ἐν Σελιανιτικοῖς Ἕλληνας τοὺς διδάσκειν τι χρήσιμον ἐπαγγελλομένους.